## 56

Jâievèro:

Οἱ ξένοι τοὺς ὁπλίτας τρεψάμενοι πρὸς τοὺς ἱππέας ἐτράποντο· καὶ οὗτοι εἰς φυγὴν ἐτράπησαν (ἐτρέφθησαν). Πάντων δὲ τετραμμένων τρόπαιον ἱδρύθη.

### 57

Ἄμασις Πολυκράτει χαίρειν.
Ἡδὺ μὲν πυνθάνεσθαι ἄνδρα φίλον εὖ πράττοντα. Εγὼ δ' οὐδένα μακαριῶ, ὃς τὰ πάντα εὐτυχεῖ· οὐ γὰρ ἀγνοῶ τοὺς θεοὺς φθονοῦντας τοῖς εὐτυχέσιν. Ἀλλὰ φρόντισον, ὅπως τοῖς θεοῖς χαριεῖ. Ἴσως δὲ χάριν αὐτῶν κομιεῖ, ἐὰν ἀποβάλῃς, ὃ περὶ πλείστου ποιῇ. Τοῦτο ἀπόβαλε φροντίζων, ὅπως μηκέτι ἥξει εἰς ἀνθρώπους.

Πολυκράτης Ἀμασίδι φιλτάτῳ χαίρειν.

Δεξάμενος τὴν σὴν ἐπιστολὴν τελῶ, ἃ ἐμοὶ ἐπιτέταχας. Σφραγῖδα γάρ, ἣν ἔχω πολυτελεστάτην, εἰς τὴν θάλατταν ἀπορρίψω. Ἐλπίζω δὲ τούτῳ τῷ τρόπῳ τοῖς θεοῖς μάλιστα χαριεῖσθαι.

### 58

7. Ποῦ ἀναμείνω σε,· 10. Κπῖνον, ἐπειδὰν καὶ τον διώκοντα καὶ τὸν φεύγοντα ἀκούσῃς. 11. Δεῖ τὸν δικαστὴν ἀκριβέστατα διακρῖναι πότερον ὁ διώκων ἢ ὁ φεύγων τἀληθῆ λέγει. 12. Τί σοι δοκεῖ,· ἀπόφηναι γνώμην. 14. Κρεῖττόν ἐστι σμικρὸν εὖ ἢ πολὺ κακῶς περᾶναι.

Περὶ Ἡρακλέους.

1. Ἡρακλέους βρέφους ἔτι ὄντος δύο δράκοντας μεγίστους Ἥρα ἐπὶ τὴν εὐνὴν αὐτοῦ ἀπέστειλεν, ὡς αὐτὸν διαφθεροῦσα·Ἡρακλῆς δ' ἄγχων ἑκατέρᾳ τῇ χειρὶ αὐτοὺς διέφθειρεν. 2. Τὸν Ἡρακλέα ἔτι παῖδα ὄντα ὁ Λίνος κιθαρίζειν ἐδίδασκεν· ἐπειδὴ δ' Ἡρακλῆς ἐφαίνετο ἀμουσότερος ὤν, ἐχαλέπησεν ὀ Λῖνος. Ὁ δ' Ἡρακλῆς ἀγανακτήσας τῷ πλήκτρῳ ἀπέκτεινεν αὐτόν. 3. Ὁ Εὐρυσθεὺς τῷ Ἡρακλεῖ παρήγγειλε καθῆραι τὴν Αὐγείου αὐλὴν τῆς κόπρου ἐκ πολλῶν ἐτῶν ἠθροισμένης· ὁ δ' ἐκάθηρε τὴν αὐλὴν ἐν μιᾷ ἡμέρᾳ.

**59** ἔσφαλκα, ἔσφαλμαι

| | |
|---|---|
| 2. Πολλοὺς ἤδη ἡ τύχη ἔσφαλκεν. | Πολλοὶ ἤδη τῇ τύχῃ ἐσφαλμένοι εἰσίν. |
| 4. Ἐπαρθεὶς τῇ εὐτυχίᾳ μὴ ὑβρίδῃς | Τὸν σπαρέντα καρπὸν ἐθέρισας. |

6. Τῶν ἀνθρώπων καὶ ὁ σοφώτατος πρὸς θεὸν πίθηκος ἀεὶ φανεῖται καὶ σοφίᾳ καὶ κάλλει καὶ τοῖς ἄλλοις πᾶσιν.

7. Πατηγύας ἀνὴρ Πέρσης τῶν ἀμφὶ Κῦρον χρηστὸς προεφάνη ἐλαύνων ἀνὰ κράτος καὶ εὐθὺς ἐβόα, ὅτι „ἡ τῆς μάχης ἡμέρα πέφηνεν· ἀναπέφανται γὰρ βασιλεὺς σὺν στρατεύματι πολλῷ προσερχόμενος". Καὶ ἤδη τε ἦν μέσον ἡμερας καὶ οὔπω καταφανεῖς ἦσαν οἱ πολέμιοι· ἡνίκα δὲ δείλη ἐγίγνετο, ἐφάνη κονιορτός.

Γέρων καὶ Θάνατος.

Γέρων ποτὲ ξύλα κόψας κἀπὶ τοὺς ὤμους ἀράμενος ἐβάδιζεν. Τέλος δὲ τριβεὶς τὸ φορτίον εἰς τὴν γῆν κατέβαλε καὶ χαλεπανθείς „Εἴθε μοι φανείη", ἔφη, „ ὁ Θάνατος." Εὐθὺς δ' ὁ Θάνατος ἐφάνη καὶ „ ὑπὸ Διός" , ἔφη, „ἐπὶ σὲ ἀπέσταλμαι· σὺ δέ, τί ἐβούλου με σταλῆναι,·" Ὁ δὲ γέρων ἐκπλαγεὶς ἀπεκρίνατο· „Ἵνα ἄρῃς μοι τὸ φορτίον ἐπὶ τοὺς ὤμους."

**60** ποῖος, ὁποῖος

| | |
|---|---|
| 3. Τίνι ἡγεμόνι ἔψη,· | Ἠπωτήθην, ᾧτινι (= ὅτῳ vai τίνι) ἡ γεμόνι σὺ ἕψη. |
| 5. Πόσοι εἰσὶ καὶ ποῦ οἱ πολέμιοι,· | Μὴ ἐπωτήσητε, ὁπόσοι, ἀλλ' ὅπου οἱ πολέμιοί εἰσιν. |

**8. Ὅτῳ (= ᾧτινι) ἂν τοῦτο δοκῇ, ἀράτω τὴν χεῖρα.**

9. Ἅττα (= ἅτινα) ἄν τις ἀδικῶν κτήσηται, τάχα διαφθαρήσεται.
10.Ἔσφηλεν ἡ τύχη, οὕστινας ἐπάρειεν. 11. Ὅστις τῶν Ἀθηναίων φανθείη ἐ λαίαν ἐξορύξας, διακοσίαις δραχμαῖς ἐζημιοῦτο.

12. Οὐκ ἔστι θνητῶν, ὅστις ἔστ' ἐλεύθερος·

ἢ χρημάτων γὰρ δοῦλός ἐστιν ἢ τύχης.

**61** ἅπαξ, δίς, τρίς, τετράκις...

| | |
|---|---|
| 1. Τὰ δὶς ἕν ἐστι δύο. | Τὰ δὶς δύο ἐστὶ τέτταρα. |
| Τὰ τρὶς τρία ἐστὶν ἐννέα. | Τὰ δὶς τέτταρά ἐστιν ὀκτώ. |
| Τα δὶς πέντε ἐστὶ δέκα. | Τὰ τετράκις πέντε ἐστὶν εἴκοσιν. |

2. Τὸ τάλαντον ἦν ἑξήκοντα μνῶν, ἡ δὲ μνᾶ ἑκατὸν δραχμῶν, ἡ δὲ δραχμὴ ἓξ ὀβολῶν· ὁ δὲ φαρ εικὸς εἶχεν εἴκοσι δραχμάς.

3. Ἀριστοτέλης λέγει φίλον εἶναι μίαν ψυχὴν ἐν δυοῖν σώμασιν.

4. Μὴ σὺ δίκην δικάσῃς, πρὶν ἂν ἀμφοῖν μῦθον ἀκούσῃς.

Περὶ τῆς τοῦ Χέοπος πυραμίδος.

Χέοψ, ὁ τῶν Αἰγυτίων βασιλεύς, ἦρξε μὲν ἔτη πεντήκοντα, κατεσκεύασε δὲ τὴν μεγίστην τῶν τρ ιῶν πυραμίδων τῶν ἐν τοῖς ἑπτὰ τοῖς ἐπιφανεστάτοις ἔργοις ἀριθμουμένων. Ἡ μὲν γὰρ μεγίστη τὴν ἐπὶ τῆς βάσεως πλευρὰν ἑκάστην ἔχει πλέθρων ἑπτά, τὸ δ' ὕψος πλέον τὸ πέντε πλέθρων. Λέγονται δ' ἐργάσασθαι κατὰ δέκα μυριάδας ἀνθρώπων. ἀεὶ τρεῖς μῆνας ἕκαστοι. Ἐδαπανήθη δ ' ἑξακόσια καὶ χίλια τάλαντα. Τὸ δὲ πᾶν κατασκεύασμα ἐπεράνθη ἐτῶν εἴκοσί.

**62** πρῶτος, δεύτερος, τρίτος, τέταρτος ...

| | |
|---|---|
| 1. Τὸ πλέθρον ἐστὶν ἑκατὸν ποδῶν, τὸ δὲ στάδιον ἓξ πλέθρων, ὁ δὲ παρασάγγης τ ριάκοντα σταδίων, ὁ δὲ σταθμὸς πέντε π αρασαγγῶν. | Ὁ ποὺς ἑκατοστὸν μέρος ἐστὶ τοῦ πλέθρου, τὸ δὲ πλέθρον ἕκτον μέρο ς τοῦ σταδίου, τὸ δὲ στάδιον τρια κοστὸν μέρος ἐστὶ παρασάγγου, ὁ δὲ παρασάγγης πέμπτον μέρος τοῦ σταθμοῦ. |

**63**

2. Οὐδένα δ' εἴα οὔτ' ἀσεβεῖν οὔτ' ἀδικεῖν, ἀλλ' εἴθιζε πάντας ἀρετῆς ἐπιθυμ εῖν. 4. Οἱ Ἀθηναῖοι ἀσεβείας ἐγράψαντο Σωκράτη καίπερ οὐδὲν ἀσεβὲς εἰργασ μένον.

5.Ἡ γλῶττα πολλοὺς εἰς ὄλεθρον ἤγαγεν.

Περὶ Ὀρφέως καὶ Εὐρυδίκης.

Τίς οὐκ ἀκήκοεν, ὅτι Ὀρφεὺς ὁ ἀοιδὸς ᾄδων ἐκίνει λίθους τε καὶ δένδρα,· Ἐφ
είποντο δ' αὐτῷ ᾄδοντι οὐ μόνον οἱ ἄνθρωποι, ἀλλὰ καὶ τὰ θηρία.Ἀποθανούση
ς δ' Εὐπυδίκης τῆς γυναικὸς αὐτοῦ κατῆλθεν εἰς Ἅιδου θέλων ἀναγαγεῖν αὐ
τήν. Πλούτων δέ, ἐπειδὴ Ὀρφέα ἑώρα ἐκ τῆς ψυχῆς φιλοῦντα τὴν γυναῖκα, εἴα
σεν αὐτὴν αναχωπεῖν. „Ἀλλ'", ἔφη, „πορευόμενος μὴ ἐπιστραφῇς, πρὶν εἰς
τὴν οἰκίαν σου παργενέσθαι." Ἡνίκα δ' οὐ πολὺ ἀπεῖχον τῶν Ἅιδου πιλῶν, Ὀρφεὺς ἐπιστραφεὶς ἐθεάσατο τὴν γυναῖκα· ἡ δὲ πάλιν εἰς Ἅιδου κατήχθη.

**64**

Περὶ Προμηθέως.

Προμηθεὺς ἐξ ὕδατος καὶ γῆς ἀνθρώπους πλάσας οὐκ ᾐδέσθη πῦρ κλέψαι ἐκ τοῦ οὐρανοῦ. Τοῦ δὲ πυρὸς ἐν τῇ γῇ καυθέντος Ζεὺς χαλεπανθεὶς ὲπέταξεν Ἡφαίστῳ προσδῆσαι τῷ Καυκάσῳ ὄρει τὸ
ν Προμηθέα. Ἀποσπασθεὶς δὴ ἀπὸ τῶν ἀνθρώπων Προμηθεὺς τῷ Καυκάσῳ προσεδέθη. Ἀνὰ πᾶσα
ν δ' ἡμέραν ἀετὸς τὸ ἧπαρ αυτοῦ ἐνέμετο αὐξανόμενον νυκτός. Καὶ πολλὰ ἔτη οὕτως ἐδέδετο, μ

έχρι οὗ ὑφ' Ἡρακλέως ἐλύθη.

**65**

Περὶ Βελλεροφότου.

Βελλεροφόντης ...

**77**

Περὶ Οἰδίποδος καὶ τῶν υἱῶν αὐτοῦ.

1.Ὁ θεὸς ὁ ἐν Δελφοῖς τῷ Οἰδίποδι εἶπεν εἰς τὴν πατρίδα μὴ πορεύεσθαι· τὸν μὲν γὰρ πατέρα ἀποκτενεῖν αὐτόν, τὴν δὲ μητέρα ἄξεσθαι γυναῖκα. 2. Ὁ τ
οῦ Λαΐου κήρυξ ἐκέλευσε τὸν Οἰδίπουν ἐκχωρῆσαι τῆς ὁδοῦ· Ὁ δ' Οἰδίπους οὐκ ἔφη ἐκχωρεῖν. 3. Ἡ Σφίγξ πρὸ τῶν Θηβῶν ἐν πέτρᾳ καθημένη οὐδένα εἴα παρέρχεσθαι σῶον. 4. Πολλῶν ἤδη ἀποθανόντων Κρέων ἐπηγγείλατο τῷ τὸ αἴ
νιγμα λύσαντι δώσειν καὶ τὴν βασιλείαν καὶ τὴν Λαΐου γυναῖκα. 5. Οἰδίπους λ
ύσας τὸ προτεθὲν αἴνιγμα ἐποίησε τὴν Σφίγγα κατὰ τῆς πέτρας ἑαυτὴν καταρ
ρῖψαι. 6. Οἰδίποδος ἐκ Θηβῶν οἰχομένου Ἐτεοκλῆς και` Πολυνείκης τὼ παῖδε αὐτοῦ δεσπότα γενομένω συνετιθέσθην κοινῇ ἄρχειν, οὐ πολλῷ δ' ὕστερον διαφ
έρεσθον. 7. Πολυνείκης δὲ φυγὼν ἐστρατεύσατο ἐπὶ Θήβας μέγα στράτευμα συ
λλέξας· ὡς δὲ διεφθείροντο πολλοί, ἐδόκει τὼ ἀδελφὼ περὶ τῆς βασιλείας μονο
μαχεῖν· μαχομένω δ' ἀπεκτεινάτην ἀλλήλους.

**78**

1. Παρίεις τὸν καιρόν. - Δέδοικα , μὴ τὸν καιρὸν παριῶμεν. - Εἴθε μὴ τὸν και
ρὸν παριεῖτε. - Μὴ παρίει τὸν καιρόν. 2. Μὴ ἐφίεσθε τῶν ἀδυνάτων. Ἔγνων ὑ
μᾶς ἐφιεμένους τῶν ἀδυνάτων. - Συμβουλεύω ὑμᾶς μὴ ἐφιέσθαι τῶν ἀδυνάτων.
3. Μὴ ἐφίεσο τῶν ἀλλοτρίων, ἵνα μὴ τὰ σαυτοῦ προϊῇ.
μὴ ἐφίεσο τῶν ἀλλοτρίων, ἵνα μὴ τὰ σαυτοῦ προϊῇ.
μὴ ἐφίεσο τῶν αλλοτρίων, ἵνα μὴ τὰ σαυτοῦ προϊῇ.
μὴ ἐφίεσο τῶν ἀλλοτρίων, ἵνα μὴ τὰ σαυτοῦ προϊῇ.
μὴ ἐφίεσο τῶν αλλοτρίων, ἵνα μὴ τὰ σαυτοῦ προϊῇ.
μὴ ἐφίεσο τῶν ἀλλοτρίων, ἵνα μὴ τὰ σαυτοῦ προϊῇ.
4. Οἱ κύνες οἱ χαλεποὶ ἡμέρας μὲν δέονται, νυκτὸς δ' ἀφίενται. 6. Τί προσδοκήσωμεν ἀγαθὸν πα
ρὰ τοῦτου, ὃς προΐει τοὺς φίλους,· 7. Ἄφρονές εἰσιν οἱ μεθιέντες τἀσφαλῆ δι' ἐλπίδα τῶν σφα
λερῶν.

8. Οὐ πάντες ἐξιᾶσιν ἐς πόντον ῥόοι.

Περὶ τῆς ᾿Αθηνῶν τειχίσεως.

᾿Επειδὴ ὁ Ξέρξης ἐκ τῆς ῾Ελλάδος ἀπῆλθεν, οἱ ᾿Αθηναῖοι τὴν πόλιν ἀνοικοδομεῖν παρεσκευάζ οντο καὶ τὰ τείχη. Οἱ δὲ Λακεδαιμόνιοι τοῦτο συνέντες ἐδέδισαν, μὴ οἱ ᾿Αθηναῖοι τῆς ἡγεμονία ς τῆς ῾Ελλάδος ἐφεῖντο. Πέμψαντες πρὸς αὐτοὺς πρέσβεις ἠξίουν αὐτοὺς μὴ τειχίζειν. Οἱ δ᾽ ᾿ Αθηναῖοι Θεμιστοκλέως γνώμῃ τοὺς μὲν πρέσβεις εὐθὺς ἀφεῖσαν ἀποκρινάμενοι, ὅτι πέμψουσιν ε ἰς τὴν Λακεδαίμονα πρέσβεις περὶ τοῦ πράγματος· ἑαυτὸν δ᾽ ἐκέλευεν ἀφεῖναι ὡς τάχιστα ὁ Θε μοστεκλῆς εἰς τὴν Λακεδαίμονα, ἄλλους δὲ πρέσβεις ἐκπέμπειν, ἐπειδὰν ἱκανὸν ᾖ τὸ τοῦ τείχου ς ὕψος.

Καὶ ὁ μὲν ταῦτα συνθέμενος ᾤχετο. Καὶ εἰς τὴν Λακεδαίμονα ἐλθὼν οὐκ εὐθὺς προσέρχεται τὰς ἄρχας, ἀλλὰ παρῆκεν ἡμέρας τίνας λέγων τοὺς συμπρέσβεις ἀναμένειν. Οἱ δὲ Λακεδαιμόνιοι ἀκο ύσαντες δι᾽ Αἰγινητῶν τινων, ὅτι οἱ ᾿Αθηναῖοι πανδημεὶ τειχίζοιεν, ἄνδρας πιστοὺς εἰς᾽Αθήνας ἀπέστειλαν σκεψομένους τὰ ἐκεῖ πραττόμενα. Καὶ ὁ Θεμιστοκλῆς τοῖς᾽Αθηναίοις κρύφα ἄγγελο ν ἧκε λέγων τοὺς τῶν Λακεδαιμονίων πρέσβεις μὴ ἀφεῖναι, πρὶν ἂν αὐτὸς πάλιν ἀφεθῇ. ᾿Εδεδοί κει γάρ, μὴ οἱ Λακεδαιμόνιοι ἀκούσαντες τἀληθῆ ἑαυτὸν οὐκέτι ἀφεῖεν. Οἵ τε οὖν ᾿Αθηναῖοι τοὺ ς πρέσβεις, ὥσπερ ἐπετάχθη, κατεῖχον. Οἱ δὲ Λακεδαιμόνιοι ἐπεὶ πάντα ἔγνωσαν, ὑφειμένοι Θεμ ιστοκλέα ἀφεῖσαν σῶον. Τούτῳ τῷ τρόπῳ οἱ ᾿Αθηναῖοι τὴν πόλιν ἐτείχισαν ἐν ὀλίγῳ χρόνῳ.

**79**

1. Φίλιππος ἐρωτώμενος, οὕστινας τῶν πολεμίων μάλιστα φιλοίη καὶ οὕστινας μάλιστα μισοίη, ,,Τοὺς μὲν μέλλοντας προδώσειν`` , ἔφη, ,,μάλιστα φιλῶ, τοὺς δ᾽ ἤδη προδεδωκότας μάλιστα μισῶ.``
2. Διογένης αἰχμάλωτός ποτε προετίθετο· ἐρωτηθεὶς δέ, τίνα ἔχει ἐπιστήμην ποιεῖν, ἀπεκρίνατο· ,,᾿Ανδρῶν ἄρχειν.`` Καὶ πρὸς τὸν κήρυκα ,,Κήρυξον`` , ἔ φη, ,,εἴ τις ἐθέλει δεσπότην αὑτῷ ὠνεῖσθαι.``
3. Φιλόσοφός τις, ἐρωτηθεὶς, πότερον ἡ γῆ ἢ ἡ θάλαττα μείζονα τρέφοι θηρία, ἔφη τὴν γῆν· ταύτης γὰρ μέρος εἶναι τὴν θάλατταν. 4. ῎Αλλος τις ἐρωτηθεὶ ς, πότερον οἴεται τοὺς ζῶντας εἶναι πλείονας ἢ τοὺς τεθνηκότας, ἔφη τοὺς ζῶ ντας· οὐκέτι γὰρ εἶναι τοὺς τεθνεῶτας.

## 80 <u>εἶμι</u>

1. Πότε ἴτε, ὦ φίλοι, εἰς τὴν ἐκκλησίαν,· -῎Ιμεν τῇ ἐπιούσῃ ἡμέρᾳ. 2. Πότερον ἄπει ἢ μενεῖς,· -῎Απειμι, ἐάν μοι ἐξῇ. 3.᾿Αλλ᾽ ἴωμεν· ὥρα γὰρ ἤδη ἀπιέναι οἴ καδε. 4. Αὐτίκα ἀπιόντες ἀσφαλῶς ἂν ἀπίοιμεν. 5.῎Ελεος ἡμᾶς εἰσῄει ἰδόντας αὐτὸν προδοθέντα. 6. ῎Απιθι εἰς κόρακας.

᾿Αποφθέγματα.

1. Διογένης λύχνον ἅψας μεσημβρίας περιῄει λέγων· ,,῎Ανθρωπον ζητῶ.``
2. Διογένης ἐανῄει ἐκ Λακεδαίμονος εἰς ᾿Αθήνας· πρὸς οὖν τὸν ἐρωτήσαντα ,,Ποῖ καὶ πόθεν,·`` ,,Παρ᾽ ἀνδρῶν`` , ἔφη, ,,εἶμι πρὸς γυναῖκας. ``
3. Πονηροῦ τινος ἀνθρώπου ἐπιγράψαντος ἐπὶ τῆς θύρας ,,Μηδὲν εἰσίτω κακόν `` , Διογένης ,,῾Ο οὖν κύριος`` , ἔφη, ,,ποῦ ἂν εἰσίοι,·``
4.᾿Επανῄει ποτὲ ἐκ διδασκαλείου παῖς ἔτι ὢν Θεμιστοκῆς. Εἶτα προσιότος Πει σιστράτου ὁ παιδαγωγὸς ἔφη τῷ Θεμιστοκλεῖ μικρὸν ἐκχωρῆσαι τῆς ὁδοῦ καὶ παρεῖναι τὸν τύρρανον.῾Ο δὲ ,,Αὕτη γὰρ ἡ ὁδός`` , ἔφη, ,,αὐτῷ οὐχ ἱκανή,·``

c. Salìdzinâøanai - εἶμι, εἰμί, οἶδα, ἵημι.

1. Μηδενὶ ἐξέστω ἐξιέναι. 2.῾Η Σφὶγξ οὐδένα παρίει, ἀλλὰ πᾶσι τοῖς παριοῦσι ν αἴνιγμα προυτίθει. 3.᾿Ολίγοι ἴσασιν, ὅτι οἱ πολέμιοι ἐν βραχεῖ ἐπίασιν. 4.῎Ισ τε δή, ὅτι ἐστὲ ἐφ᾽ ἡμῖν καὶ οὐκ ἄπιτε ἀκόντων ἡμῶν. 5. Πάρεστιν ὁ καιρός· ἐ ὰν δὲ παριῆτε, οὐδέποτε ἐπάνεισιν. 6. Φρόνιμος ἴσθι. -῎Ισθι ἄφρων ὤν.
7. ἀφεῖναι - ἀπεῖναι - ἀπιέναι, ἀπίῃς - ἀφίῃς, ἀπῇς - αφῇς, παριᾶσιν(ἵημι) - παρίασιν(εἶμι), πάρ εισιν (2)(εἰμί, εἶμι) - παρεῖσιν(aor.

part.pl.dat.), παρόντων - παριόντων - παριέντων, ἧμεν(εἷμι) - ἦμεν(εἰμί), ὧ - ὦ, εἷμεν - εἶμεν - εἵ μην(mid. aor.ἵημι).

81

᾿Αποφθέγματα.

1. Φιλόσοφς τις ποτε ἐαινούμενος ὑπὸ πονηρῶν εἶπε δεδιέναι, μή τι κακὸν εἰρ γασμένος εἴη.
3. Νικήρατός τις᾿Αθηναῖος ἐρωθητείς, ἐπὶ τίνι ἐπιστήμῃ μέγα φρονοίη, εἶπεν· ,,῾Ο πατὴρ ἐπιμελούμενος, ὅπως ἀνὴρ ἀγαθὸς γενοίμην (γενήσομαι), ἠνάγκα σέ με πάντα τὰ ῾Ομήρου ἔτη μαθεῖν· καὶ νῦν οἷός τέ εἰμι τὴν ᾿Ιλιάδα ὅλην κ αὶ ᾿Οδύσσειαν ἀπὸ στόματος εἰπεῖν.῾῾

## 82 ἵστημι

| | |
|---|---|
| 3. Οἱ πολῖται τοὺς ἀρί στους τῇ πόλει ἐφιστά ντων. | Οἱ ἄριστοι ὑπὸ τῶν πολιτῶν τῇ πό λει ἐφιστάσθων. |
| 4. Σόλων τὴν τῶν᾿Αθη ναίων πολιτείαν κατέσ τησεν. | Οἱ τοῦ Σόλωνος νόμοι οὐ μετεστάθ ησαν ὑπὸ Πεισιστράτου. |
| 5. Οὐδεὶς ἡμᾶς τῶν φί λων ἀποστήσει. | ῾Υπ᾿ οὐδενὸς τῶν φίλων ἀποσταθησ όμεθα. |

**᾿Αποφθέγματα.**

1. Λάκων τις κατασταθεὶς ἔσχατος τοῦ χοροῦ ἐπείθετο· πρὸς δὲ τὸν ἱστάντα τὸν χορὸν εἶπεν· ,, Εὖ γε ἔχει, ὅτι οὐχ ὁ τόπος τὸν ἄνδρα, ἀλλ᾿ ὁ ἀνὴρ τὸν τ όπον ἔντιμον καθίστησιν.῾῾
2. Λυκοῦργος πρὸς τὸν ἀξιοῦντα δημοκρατίαν ἐν τῇ Σπάρτῃ καταστῆσαι εἶπεν · ,,Σὺ πρῶτος ἐν τῇ σαυτοῦ οἰκίᾳ κατάστησαι δημοκρατίαν.῾῾
3.῾Ιππόνικός τις ἐβούλετο στήλην ἀναστῆσαι τῇ πατρίδι ἀνάθημα. ᾿Επεὶ δέ τι ς συνεβούλευσε παρὰ Πολυκλείτῳ κατασκευάσαι τὸ ἄγαλμα, οὐκ ἔφη τοιοῦτον ἀνδριάντα ἀνιστάναι, οὗ τὴν δόξαν οὐχ ὁ ἀναστήσας, ἀλλ᾿ ὁ ποιήσας ἔχοι.

## 83 ἵσταμαι

1. Μὴ διίστασθε, ὦ πολῖται. 5. Μικρὸν ἀπὸ τοῦ ἡλίου μετάστηθι. 6. Δός μοι, π οὗ στῶ, καὶ τὴν γῆν κινήσω. 7. Τοῖς φαύλοις θεὸς οὐ παρέστη. 8. Πλάτων ὁ φι λόσοφος τοῖς μεθύουσι συνεβούλευε παραστῆναι τῷ κατόπτρῳ· εἶτα γὰρ ἀποστ ήσεσθαι αὐτοὺς πίνειν.
9. Χρήσιμοι προστάται τοῦ δήμου προεστήκασιν (προεστᾶσιν). - Χρησίμους προστάτας δεῖ τοῦ δή μου προεστάναι. 10. Τοὺς ἀφεστηκότας (ἀφεστῶτας) χρὴ εἰς τὸ δέον καθιστάναι. 11.῞Εως Περικ λῆς προειστήκει τοῦ τῶν ᾿Αθηναίων δήμου ἀγαθὰ τὰ τῆς πολιτείας ἦν.

12. Salìdzinâøanai:

| | |
|---|---|
| Οἱ στρατηγοὶ τὸ στράτ ευμα ὑπ᾿ αὐτὸν τὸν λό φον ἔστησαν. | Οἱ ῞Ελληνες ὑπ᾿ αὐτῷ τῷ λόφῳ ἔσ τησαν. |

᾿Αποφθέγματα.

1. Πλάτων ὀργιζόμενός ποτε τῷ οἰκέτῃ, ἐπιστάντος φίλου τινός, ,,Λαβὼν῾῾, ἔφ η, ,,τοῦτον μαστίγωσον, ἐγὼ γὰρ ὀργίζομαι.῾῾
2. Λάκων τις χωλὸς στρατευόμενος καὶ καταγελώμενος εἶπεν. ,,Οὐ φευγόντων δεῖ, ἀλλ᾿ ἱσταμένων῾῾.

3. Διογένης ὁρῶν τοὺς Μεγαρέας τὰ μακρὰ τείχη ἱστάντας „Ὦ μῶροι," ἔφη, „μὴ τοῦ μεγέθους ἐπιμελεῖσθε τοῦ τῶν τειχῶν, ἀλλὰ τῶν ἐπὶ τῶν τειχῶν στησ ομένων."
4. Ἀριστῶντι Διογένει ἐν ἀγορᾷ περιέστασαν πολλοὶ συνεχὲς λέγοντες· „Κύ ον, κύον." Ὁ δὲ „Ὑμεῖς", ἔφη, „ἐστὲ κύνες, οἵ με ἀριστῶντα περιεστήκα τε."
5. Ὄμβρου ποτὲ γενομένου Διογένης εἱστήκει κάτομβρος. Τῶν δὲ περιεστώτων ἐλεούντων παρὼν Πλάτων ἔφη· „Ἐὰν αὐτὸν ἐλεῆτε ἀπόστητε."
c.
Noteikøanai: ἕστασαν(εἱστήκειν) - ἵστασαν(ἵστην)- ἱστᾶσαν(ἱστᾶσα) - ἔστησαν (2)(ἔστην, ), ἱστᾶ σιν (2)(ἵστημι,ἱστάς) - ἑστᾶσιν(ἕστηκα), ἵστη (2)(impf,imrv.) - ἱστῇ(ἱστῶ, ἱστῶμαι) - ἔστη - στῇ( στῶ), ἑστῶσιν(ἕστηκα coni.) - ἱστῶσιν(pr.coni.), ἑστάναι(ἕστηκα)- ἱστάναι.

**84**

| | |
|---|---|
| Ἦν ψῦχος δεινόν, ὥστε τῶν Ἑλλήνων πολλῶ ν καὶ αἱ ῥῖνες ἀπεκαίο ντο καὶ τὰ ὦτα. | Ἦν ψῦχος μεῖζον, ἢ ὥστε τοὺς στρ ατιώτας ἀνέχεσθαι. |

2. Τῇ ἐπιούσῃ νυκτὶ πίπτει χιὼν πλείστη, ὥστε ἀπέκριψε καὶ τὰ ὅπλα καὶ τοὺς ἀνθρώπους κατα κειμένους. 3. Ἦν δὲ τῆς χιόνος βάθυς ὀργυιά· ὥστε καὶ τῶν ὑποζυγίων καὶ τῶν ἀνδραπόδων πολ λὰ ἀπέθανε καὶ τῶν στρατιωτῶν ὡς τριάκοντα. - 4. Εἶπεν ὁ σατράπης, ὅτι τοῖς Ἕλλησι συνθέσθ αι βούλοιτο, ἐφ᾽ ᾧ μήτ᾽ αυτὸς τοὺς Ἕλληνας ἀδικεῖν μήτ᾽ ἐκείνους καίειν τὰς οἰκίας.

5. Φίλιππος ὁ Μακεδὼν φρούριόν τι βουλόμενος λαβεῖν ἰσχυρόν, ὡς ἀπήγγειλαν οἱ κατάσκοπτοι χαλεπὸν εἶναι αὐτὸ παντάπλασιν, ἠρώτησεν, εἰ οὕτω χαλεπόν ἐστι, ὥστε μηδὲ ὄνον ἀναβῆναι χρυσὸν κομίζοντα.

## 85 πίμπλημι, δύναμαι, ἐπριάμην

1. Νῦν ἄν, εἰ βούλοιο, σὺ ἡμᾶς ὀνινάναι (ὀνῆσαι) δύναιο. 2. Εὖ ἐπίστασθε, ὅτι ὀνήσω ὑμᾶς ὡς κράτιστα. 3. Μέγα ὀνήσεσθε, ἐὰν βραδέως μὲν σκοπῆτε, σκεψά μενοι δὲ ταχέως πράττητε. 4. Πτωχοῦ πήρα οὐ πίμπλαται. 5. Ἠπίστατο ὁ Κῦρ ος, εἴ τις καὶ ἄλλος, χάριν ἀποδοῦναι, ἠπίστατο δὲ καὶ ἐκπλῆσαι (ἐκπιμπλάναι ) τὰς τῶν στρατιωτῶν γνώμας. 6. Ἡ τῶν Ἀθηνῶν ἀκρόπολις ὑπὸ τῶν Περσῶν ἐνεπρήσθη.
7. Πείσομαι, ἵνα εἰδῆτε, ὅτι καὶ ἄρχεσθαι δύναμαι. Μέγα κακὸν τὸ μὴ δύνασθαι φέρειν κακόν. 9. Μὴ πάντα ἐπίστασθαι προθυμοῦ, μὴ πάντων ἀμαθὴς γένῃ. 10. Μὴ ἄγαν ἀγασθῆτε τοὺς μεγαλυν ομένους.

11. Ἀρίστιππος ὁ φιλόσοφος συνιστάντος τινὸς αὐτῷ τὸν υἱὸν ᾔτησε πεντακοσ ίας δραχμάς· τοῦ δ᾽ εἰπόντος „Τοσούτου ἂν δυναίμην ἀνδράποδον πρίασθαι"," Ἀρίστιππος „Πρίω" , ἔφη, „καὶ ἔχεις δύο".

## 86 Nosacījuma periods

| | |
|---|---|
| I.1. Εἰ ἡμῖν βοηθεῖς, ὀνίνης ἡμᾶς | Si nobis auxilio venis, prodes nobis. |
| 2. Ἐὰν ἡμῖν βοηθήσῃς (= εἰ ἡμῖν βοηθήσ εις), ὀνήσεις ἡμᾶς. | Si nobis auxilio venies, proderis nobis. |
| 3. Εἰ θεοί τι δρῶσιν αἰσχρόν, οὐκ εἰσὶν θεοί. | |
| 4. Θάρρει· καλῶς γὰρ ἔσται, ἢν θεὸς θέλ ῃ. | |
| II.5. Εἰ (εἴθε) ἡμῖν βοηθοίης. - Ὀναίη ς ἂν ἡμᾶς. = Εἰ ἡμῖν βοηθοίης, ὀναίης ἂν ἡμᾶς. | Si nobis auxilio venias, prosis nobis |

| | |
|---|---|
| 6. Εὐδαίμων ἂν εἴη ἡ πόλις, εἰ πάντες ο ἱ πολῖται ὁμονοοῖεν ἀλλήλοις. 7. Εἴ τι ἐ μὸ κακὸν βουλεύοις, ἅμα ἂν καὶ σαυτὸν βλάπτεις. | |
| 8. Εἰ δὲ κακοὺν εἴποις, τάχα καὐτὸς μεῖ ζον ἀκούσαις. | |
| III. 9. Εἰ (εἴθε) ἡμῖν βοήθεις. -Ὠνίνης ἂ ν ἡμᾶς. = Εἰ ἡμῖν ἐβοήθεις, ὠνίνης ἂν ἡ μᾶς. | Si nobis auxilio venires, prodesses nobis. |
| 10. Εἰ (εἴθε) ἡμῖν ἐβοήθησας, ὤνησας ἂν ἡμᾶς. | Si nobis auxilio venisses, profuisses nobis. |
| 11. ΕἴΘ' ἡμῖν ἐβοηθησατε, ὅτε ὑμᾶς ἐπε καλούμεθα· τότε γὰρ ἂν ἐδυνήθημεν κρα τεῖν πολεμίων. Νῦν δὲ ἀδύνατόν ἐστιν. | |
| 12. Εἴ σε ἐδυνάμην πεῖσαι, ἐπεθόν σε ἂ ν ἀκολουθεῖν ἡμῖν. | |

Fabulas un anekdoti.

1. Λύκος ἰδὼν ποιμένας ἐσθίοντας πρόβατον ,,῾Ηλίκος῾῾ , ἔφη, ,, ἂ ἦν ὑμῖν θόρυβος, εἰ ἐγὼ τοῦτ ο ἐποίουν῾῾.
2. Τῶν ὀρνίθων βουλευσαμένων περὶ βασιλείας ταῶς, ἠξίου κατασταθῆναι βασιλεὺς διὰ τὸ κάλλος . Τῶν δὲ ἄλλων ὁμολογούντων εἷς τῶν ὀρνίθων εἶπεν· ,,Ἀλλ' ἐὰν σοῦ βασιλεύοντος ὁ ἀετὸς ἡμᾶ ς διώκῃ, πῶς ἡμᾶς σώσεις,·῾῾
4. Κυμαῖός τις μέλι ἐπίπρασκεν. Ἐλθόντος δέ τινος καὶ γευσαμένου καὶ εἰπόντος, ὅτι ,,Πάνυ κα λόν῾῾ , ὁ Κυμαῖος ἔφη· ,,Εἰ μὴ γὰρ μῦς ἐνέπεσεν εἰς αὐτό, οὐκ αὖ ἐπώλουν.῾῾

5. Εὖ ἴσθ', ὅταν τις εὐσεβῶν θύῃ θεοῖς,
κἂν μικρὰ θύῃ, τυγχάνει σωτηρίας.

6. Γελῶσι μῶροι, κἄν τι μὴ γελοῖον ἦν.

**87** <u>δείκνυμι</u>

1. Δείκνυ ὁδόν. - Ἀποδείκνυσθε τὴν γνώμην. - Αἱ μητέρες ἡδέως ἐπιδεικνύασι τοὺς παῖδας τοὺ ς εὖ τεθραμμένους. - Νῦν ἡμῖν καιρός ἐστιν ἐπιδείκνυσθαι τὴν παιδείαν. - Εἴθε εὔνοιαν τοῖς ἔργ οις μᾶλλον ἢ τοῖς λόγοις ἐνδεικνύοιτε.
2.Ἦν ψῦχος οὕτως, ὥστε τὸ ὕδωρ ἐπήγνυτο· καὶ δὴ οὐκ ἔδει πλοίοις ζευγνύναι τὸν ποταμόν, ἀλλ ' ἐξῆν πεζῇ διαβῆναι.
3.Ὕβριν χρὴ σβεννύναι μᾶλλον ἢ πυρκαϊάν. 4.῾Ο χρυσὸς ἀνοίγνυσι (ἀνοιγνύει) καὶ τὰς Ἅιδου π ύλας. 5. Τοὺς μὲν μαλακοὺς ἔρρηξε(ῥήγνυμι) (κατέαξε(κατάγνυμι)) τὰ ἄγλη, τοὺς δ' εὐρώστους ἔρρωσ εν(ἔρρωμαι). 6. Οἱ Ἕλληνες τὸν οἶνον ἐκεράννυσαν (ἐμείγνυσαν)· ἄκρατος μὲν γὰρ ὀξὺς ἐφαίνετο εἶναι, κερασθεὶς (μιχθεὶς) δ' ἡδύς.
7.Ὑστυλεσ σ]]κυμσ υν βειγασ· Εἰ ἔρρωσαι, καλῶς ἂν ἔχοι. Ἐρρώμεθα δὲ καὶ ἡμεῖς . . . Ἐπιμ έλου δὲ καὶ σαυτοῦ, ὅπως ἡμᾶς ἐρρωμένος ἐπανέλθῃς. -Ἔρρωσο.

Περὶ τοῦ τυρανεύειν.

1.Ἀντίγονος ὁ βασιλεὺς πρός τινα μακαρίζουσαν αὐτὸν γραῦν ,,Εἰ ἐπιδειξαίμην σοι῾῾ , ἔφη, ,, ὦ μῆτερ, ὅσων κακῶν μεστόν ἐστι τοῦτο τὸ ῥάκος῾῾, δείξας τὸ διάδεμα, ,,οὐκ ἂν ἐπὶ κόπρου κείμ ενον αὐτὸ ἀναλαμβάνοις῾῾.
2.Ἔκειτο μὲν Δαμοκλῆς ἐπὶ χρυσῆς κλίνης ἐστρομένης ἠμφιεσμένος καλλίστην ἐσθῆτα, καὶ κάλλ ιστοι παῖδες παρετίθεσαν αὐτῷ ἄφθονα σῖτα καὶ ἐκεράννυσαν ἥδιστον οἶνον. Ἐπειδὴ δὲ Διονύσι ος ὁ τύραννος ἐκέλευσεν ὑπὲρ τῆς Δαμοκλέους κεφαλῆς ξίφος κρεμάσαι ἐκ τριχός, ὁ Δαμοκλῆς φ οβηθεὶς ἀπεῖπε τὸ τυραννεύειν.

**88** <u>**Laika teikumi**</u>

I. 1.Οἱ στρατιῶται τὸν ἡγεμόνα τῆς ὁδοῦ ἔπαιον, ἔστε (μέχρι) ἠνάγκασαν αὐτὸν ἀναστάντα ἡγε ῖσθαι· ὁ δέ, ἕως μὲν βατὰ ἦν, ἐπὶ τοῦ ἵππου ἦγεν, ἐπεὶ δ' ἄβατα ἦν, ἔσπευδε πεζῇ.

| | |
|---|---|
| II.2. Ἕως ἂν πορευώμεθα, οἱ ἱπεῖς προε | Dum (donec, quamdiu) proficiscemur, |

| | |
|---|---|
| λαυνόντων. | equites progrediantur. |
| 3.᾿Επειδὰν ἅπαντα ἀκούσητε, κρίνατε. | Simulatque (ubi primum) omnia audiveritis, iudicate! |
| 4.᾿Αναμενῶ, ἔστ᾿ ἂν ἐπανέλθῃς. | Manebo, dum redeas (redis). |
| III.5. Μαινόμεθα πάντες, ὁπόταν ὀργιζώ μεθα. | Omnes dementes sumus, cum irascimur. |
| 6.᾿Επεὶ (ὁπότε, εἰ) οἱ ναῦται πειρῷντο ἀ νάγεσθαι, ἐκώλυεν ὁ χειμών. | Cum nautae naves solvere conabantur, tempestas impediebat. |
| IIII.7. Οὐ πρότερον ἐδικάσαμεν, πρὶν αὐ τοῦ ἠκούσαμεν. | Non prius iudicavimus, quam eum audivimus. |
| 8.᾿Εδικάσατε, πρὶν αὐτοῦ ἀκοῦσαι. | Iudicavistis, priusquam eum audivistis (audiretis). |
| 9. Μὴ δικάσητε, πρὶν ἂν αὐτοῦ ἀκούσητ ε. | Ne iudicaveritis, priusquam eum audiveritis. |

Aleksandrs ceîâ uz Jupitera Ammòma orâkulu.

᾿Αλέξανδρος ὡς εἰς τὴν Αἴγυπτον ἧκεν, πόθος ἔλαβεν αὐτὸν ἀναζεῦξαι παρ᾿῎Αμμωνα εἰς τὴν Λι βύην· τὸ γὰρ μαντεῖν τὸ τοῦ ῎Αμμωνος ἀσφαλὲς ἐλέγετο εἶναι καὶ χρήσασθαι αὐτῷ ἤδη ῾Ηρακ λῆς, ὅτε παρ᾿ ᾿Ανταῖον ᾔει εἰς τὴν Λιβύην. ῞Εως μὲν δὴ ᾿Αλέξανδρος παρὰ θάλατταν ἐπορεύετ ο, ἡ χώρα ἐρήμη μὲν ἦν, ἀλλ᾿ οὐκ ἄνυδρος. ᾿Επειδὴ δ᾿ εἰς τὴν μεσόγαιαν ἐτράπετο, βραδεῖα ἡ πορεία ἐγένετο καὶ χαλεπωτάτη. ῎Εστι δ᾿ ἐρήμη τε ἡ ὁδὸς καὶ ψάμμος ἐκεῖ πολλή· ἄνεμος δέ, ἐπὰν πνέῃ ἐν ἐκείνῳ τῷ χώρῳ, τῆς ψάμμου πολὺ ἐπιφέρει, ὥστε ἀφανίζεται τῆς ὁδοῦ τὰ σημεῖα οὐδ᾿ ἔξεστιν εἰδέναι, ὅποι χρὴ πορεύεσθαι. Πλαμωνένης δὲ τῆς στρατιᾶς δύο κόρακες λέγονται δ εῖξαι τὴν ὁδὸν καὶ οὐ πρότερον ᾤχοντο, πρὶν ᾿Αλέξανδρος εἰς τὸ μαντεῖον ἀφίκετο.

**89 <u>ἀπόλλυμι, ὄννυμι</u>**

2. Φεῦ, φεῦ, ἡ στάσις ἡμᾶς ἀπολώλεκεν. |῏Ω μοι, ἀπόλωλα.
3. *ΖUρεστα φορμυλα·* ῎Ομνυμι Δία καὶ Ποσειδῶνα καὶ Δήμητρα. 4. Πανταχοῦ ἐν τῇ ῾Ελλάδι νόμος ἔκειτο τοὺς πολίτας ὀμνύναι ὁμονοήσειν, καὶ πανταχοῦ ὤμνυσαν τὸν ὅρκον τοῦτον. 5. Μά ρτυρες ἔστησαν τῆς εἰρήνης οἵ τε ὅρκοι, οἳ ὀμοθήσονται, καὶ αἱ στῆλαι, αἳ σταθήσονται. 6. Δίκα ιον ἀπόλλυσθαι τοὺς ἐπιορκοῦντας. 7. Τὸν ἄνδρα, ᾧ ὤμνυς πιστὸς ἔσεσθαι, ἀπολώλεκας. 8. ᾿Αρχί δαμος, ὁ τῶν Λακεδαιμονίων βασιλεύς, δείξαντός τινος αὐτῷ καταπελτικὸν βέλος τότε πρῶτον ἐ κ τῆς Σκελίας κομισθέν, ἀνεβόησεν· „῏Ω ῾Ηράκλεις, ἀπόλωλεν ἀνδρὸς ἀρετή.῾῾

9.῾Η γλῶτ᾿ ὀμώμοχ᾿ , ἡ δὲ φρὴν ἀν-ώμοτος.
10. Εἰ μὴ φυλάξεις μίκρ᾿, ἀπολεῖς τὰ μείζονα.
11. ᾿Αρετὴ δέ, κἂν θάνῃ τις, οὐκ ἀπόλλυται.
12. Φειδώμεθ᾿ ἀνδρῶν εὐγενῶν, φειδώμεθα·
κακοὺς δ᾿ ἀπολλύωμεν, ὥσπερ ἄξιον.

13.᾿Ανέρας ἐξολέσας ἀγαθοὺς ἀπόλοιο καὶ αὐτός.

**90 <u>Relatìvie teikumi.</u>**

1. ῎Εστε ἄξιοι τῆς ἐλευθερίας, ἧς κέκτησθε. - ῎Ισθι ἄξιος ὧν κέκτησαι ἀγαθῶν. 2. ῟Ων ἔχεις, καὶ τοῖς ἄλλοις μεταδίδου. 3.᾿Επαινῶ σε ἐφ᾿ οἷς λέγεις. 4. ῾Η γραφὴ ἡ κατὰ Σωκράτους τοιάδε τις ἦν· „᾿Αδικεῖ Σωκράτης, οὓς ἡ πόλις νομίζει θεούς, οὐ νομίζων.῾῾ 5.῾Ηγεμόνα αἰτοῦμεν, ὅστ ις ἡμᾶς ἀπάξει οἴκαδε. 6. ᾿Εν τῇ πόλει χρὴ διδασκάλους εἶναι, οἵτινες τὰ δίκαια δείξουσι, καὶ τ οὺς νέους ἐθιοῦσι ταῦτα ποιεῖν. 7. Χάριν εἰδῶμεν θεῷ, ὅς γε παντοδαπῶς οὐ μόνον τροφὴν ἡμῖν παρέχει, ἀλλὰ καὶ ἡδονήν.
8. Ποιητὴς ἅττα ἂν γράφῃ μετ᾿ ἐνθουσιασμοῦ, καλά ἐστιν. 9. Μὴ ἐπιχειρήσεις, ἃ ἂν μὴ πρότερ ον λογίσῃ. 10. Οἷς ἂν ὀμόσωμεν, χρὴ ἐμμένειν. 11.῞Οπου οἱ νόμοι μὴ ἰσχύοιεν, ἐνταῦθα πάντα ἐλ έλυτο.

12. Λυκοῦργος τοῖς τῶν Λακεδαιμονίων παισὶν ἐφῆκε κλέπτειν ὅτι δύναιντο· ὅσοι δὲ κλέπτοντε ς ἁλοῖεν, ἐζημιοῦντο.
13. Σεμίραμις κατασκευάσασα ἑαυτῇ τάφον τάδε ἐπέγραψεν· „῞Ωιτινι ἂν βασιλεῖ δέῃ χρημάτων, ἀνοίξας τὸ μνημεῖον, ὅσα ἂν βούληται, λαβέτω.῾῾ Δαρεῖος οὖν ἀνοίξας χρήματα μὲν οὐχ εὑρίσκε ι, γράμμασι δ᾿ ἑτέροις ἐτυγχάνει τάδε λέγουσιν· „ Εἰ μὴ κακὸς ἦσθα ἀνήρ, οὐκ ἂν νεκρῶν μνημ εῖα ἐκίνεις ὡς χρήματα κλέψων῾῾.

## 91 λαμβάνω

1. Τὸν ὄνον δεῖ πολλάκις ἐλαθῆναι. - Μὴ ἐλάσητε τὸν καμόντα.- Ἧς ἐκεκτήμεθα χώρας, ἐξεληλά μεθα.
2. Δεῖ τοὺς παῖδας τὰς παρὰ τῶν πατέρων παρειλημένας ἀρετὰς οὐ μόνον διασῶσαι, ἀλλὰ καὶ αὐ ξῆναι.
3. Μήποτε ἐπιλάθεσθε, τί ὀφείλετε τῇ πατρίδι. -Ἐπιμέλεσθε, ὅπως μὴ ἡμῶν ἐπιλήσεσθε. -Ἐπιλέ λησαι, ὧν οὔποτ' ἔδει σ' ἐπιλαθέσθαι.
4. Ἡμάρτηκα· ὁμολογῶ. -Ἄκων ἁμαρτὼν ῥᾳδίως τεύξῃ(τεύχω βερειτεν) (λήξῃ, λήψῃ) συγγνώμη ς. - Οὐκ ἄπιμεν, πρὶν ἂν τύχωμεν, ὧν δεόμεθα.
5. Καίπερ κεκμηκὼς (κάμνω) οὐκ ἐδυνάμην καθεύδειν· μικρὸν δ' ὕπνον λαχὼν εἶδον φοβερὸν ὄναρ.
6.Ἀφῖγμαι(ἀφικνέομαι, ἵκω κομμεν) εἰς Ἀθήνας ὑγιαίνων καὶ κατείληφα ὑγιαίνοντας τοὺς σοὺ ς φίλους. - Διέβημεν τὸν ποταμὸν, πρὶν τοὺς ἄλλους ἀφικέσθαι.
7. Πολλοὶ τὴν πατρίδα καταλιπόντες Ἀθήναζε ἀφικνοῦντο, ὡς ἐκεῖ μαθησόμενοι μαθήματα παρὰ τῶν σοφῶν.
8. Δέδοικα, μή, ἂν ἅπαχ μάθωμεν ἐν τῇ ἀλλοτρίᾳ ἀργοὶ ζῆν καὶ ἐν ἀφθόνοις βιοτεύειν, ἐπιλαθώμ εθα τῆς οἴκαδε ὁδοῦ.
9.Ἐγχέατε πιεῖν, ὦ παῖδες, ὁ γὰρ οἶνος ἐκπέποται.
10. Οἱ ἱπεῖς προελαύνοντες ἐνέτυχόν τισι τῶν ἐγχωρίων. Καὶ ἐπεὶ ἤχθησαν παρὰ τὸν ἡγεμόνα, π υνθάνεται αὐτῶν, εἴ που ἤσθηνται ἄλλου στρατεύματος.
11. Πορευθείς ποτε ὁ Ἀγησίλαος εἰς Ὀλυμπίαν, ὡς πευσόμενός(πυνθάνομαι) τι παρὰ τοῦ Διός, ἔτυχε χρησμοῦ, ὃν ἤθελεν· εἶτα τῶν ἐφόρων κελευόντων καὶ παρὰ τοῦ Πυθίου πυθέσθαι τὸ αὐτὸ Ἀγησίλαος εἰς δελφοὺς ἀφικόμενος ἐπύθετο, εἰ, ἅπερ τῷ πατρί, δοκεῖ καὶ αὐτῷ.
12. Λαβὼν ἀπόδος, ἄνθρωπε, καὶ λήψῃ πάλιν.
13. Θεὸν ἐπιορκῶν μὴ δόκει λεληθέναι.
14. Οὐδεὶς ἀνθρώπων ἀδικῶν τίσιν οὐκ ἀποτείσει (τίνω zahlen).

### Brâîu mìlestìba.

Αἰσχύλος ὁ ποιητὴς ἐκρίνετο ἀσεβείας ἐπί τινι δράματι. Οἱ δ' Ἀθηναῖοι ἔμελλον βαλεῖν αὐτὸν λίθοις. Καὶ ἔτεισεν ἂν τὴν δίκην, εἰ μὴ Ἀμεινίας, ὁ νεώτερος ἀδελφός, διακαλυψάμενος τὸ ἱμάτ ιον ἔδειξε τὸν πῆχυν ἐρῆμον τῆς χειρός. Ἀνδρείως γὰρ μαχόμενος ἐν Σαλαμῖνι ὁ Ἀμεινίας ἀπ εβεβλήκει τὴν χεῖρα καὶ πρῶτος Ἀθηναίων τῶν ἀριστείων ἐτετυχήκει. Ἐπεί δ' ᾔσθοντο οἱ δικασ ταὶ τὸ τοῦ ἀνδρὸς πάθος, ἐμνημόνευσαν τῶν ἔργων αὐτοῦ καὶ ἀφεῖσαν τὸν Αἰσχύλον.

### c. Noteikøanai:

πείσεσθαι - πεύσεσθαι (πυνθάνομαι - πεύθομαι), ἐλήφθης -ἐλείφθης, εἰλημμένος - λελειμμένος, πέ πυσμαι - πέπεισμαι(πυνθάνομαι), τείσει(τείνω) - τίσει(τεινώ fut.par.f.).

## 92 Centrâlâ satura particips.

1. Ὁ ἰατρὸς ἐτύγχανε παρών. 2.Ὁ ἡγεμὼν ᾤχετο ἀπιών. 3. Οἱ δοῦλοι ἔλαθον(fugit) τὸν δεσπότην ἀποδράντες. 4. Φανερὸς εἶ ἐμοὶ φθονῶν. 5.Ἀμεινίας ἔτυχ εν ἐν Σαλαμῖνι ἀποβεβληκὼς τὴν χεῖρα. 6. Εἰ οἱ πολέμιοι φθήσονται (vai ἐὰν φθάσωσιν) ἡμᾶς προκαταλαβόντες τὴν ἄκραν, οὐ δυνησόμεθα παρελάσαι. 7. Με γάλα ἦν τὰ Περσικὰ τόξα· ὥστε χρήσιμα ἦν, ὁπόσα ἁλίσκοιτο τῶν τοξευμάτων , τοῖς Ἕλλησί, καὶ διετέλουν (διῆγον, διεγένοντο) χρώμενοι τοῖς τῶν πολεμίων τοξεύμασιν.
8. Οὔποτε παύσομαι ὑμᾶς εὐεργετῶν. 9. Μὴ κάμητε (defatigor) φίλους ἄνδρας εὐεργετοῦντες. 10 .Ἀδικεῖτε ἐμοῦ ἐπιλαθόμενοι. 11. Εὖ ἐποιήσατε -ἀφικόμενοι. 12. Ἥδομαι ὑφ' ὑμῶν τιμώμενος (honoro). 13. Ἀγανακτοῦμεν τοὺς ὑμετέρους λόγους ἀκούοντες. 14. Μηδεὶς μηδένα ὄλβιον κρινέτω , πρὶν ἂν αὐτὸν εὖ ἀποθανόντα ἴδῃ.

| | |
|---|---|
| 15. Οἶδα προδοθείς. | Οἶδα ὑμᾶς ἐμὲ προδόντας. |
| 16.Ὁ στρατηγὸς ἔγνω ἀδύνατος ὢν τὸν ποταμὸν διαβῆναι. | Ὁ στρατηγός, ἐπεὶ ἔγνω τοὺς στρα τιώτας τὸν ποταμὸν διαβεβηκότας, ᾔσθη. |

Divas fabulas

1. Ἄγριος ὄνος ἰδὼν ἥμερον ὄνον ἔν τινι καλῷ τόπῳ νεμόμενον προσῆλθε καὶ „Οὐδέποτε ʿʿ, ἔφη, παύσομαί σοι φθονῶν· φανερὸς γὰρ εἶ εὖ πράττων καὶ ἄφθ ονον ἔχων τὴν τροφήνʿʿ. Ὕστερον δὲ ἰδὼν αὐτὸν βαρὺ φορτίον φέροντα καὶ τὸ ν δεσπότην ὄπισθεν ἑπόμενον καὶ παίοντα ἔφη· „Ἀλλ᾽ ἔγωγε οὐκέτι σε εὐδ αιμονίζω· ὁρῶ γάρ, ὡς οὐκ ἄνευ μεγάλων κακῶν τὴν εὐδαιμονίαν ἔχεις.ʿʿ

2. Ὄνος λέοντος δέρμα ἐνδὺς περιῄει τἆλλα θηρία ἐκπλήττων. Ἰδὼν δ᾽ ἀλώπ εκα ἐπειρᾶτο καὶ ταύτην ἐκπλῆξαι. Ἡ δ᾽ - ἐτύγχανε γὰρ αὐτοῦ φθεγξαμένου ἀκηκυῖα - πρὸς αὐτὸν ἔφη· „Καὶ ἐμὲ ἂν ἐξέπλησας, εἶ μὴ σοῦ φθεγξαμένου ἤκ ουσα.ʿʿ

# 94 Papildu particips.

1. Οἱ Ἀθηναῖοι παρεσκευάζοντο ὡς τοῖς Θηβαίοις ἐπιθησόμενοι· οὗτοι γὰρ ἅτ ε μηδίζοντες μεγάλως αὐτοῖς ἐχθροὶ ἦσαν.

2. Ἡ Ξανθύππη, ἡ τοῦ Σωκράτους γύνη, ἔφη, καίπερ μυρίων μεταβολῶν τῇ πόλ ει καὶ αὐτοῖς ἐπιγενομένων ἀεὶ ὁμοῖον τὸ Σωκράτους πρόσωπον θεάσασθαι καὶ ἐξιόντος ἐκ τῆς οἰκίας ἐπανιόντος. 3. Μακρότερον οἵ τε Ἑλληνικοὶ σφενδο νῆται τῶν Περσῶν ἐσφενδόνων, καὶ πολὺ περιῆσαν τοξεύοντες. 4. Φίλων παρόν των καὶ ἀπόντων μέμνησο.

5. Θεοῦ διδόντος οὐδὲν ἰσχύει φθόνος,
καὶ μὴ διδόντος οὐδὲν ἰσχύει πόνος.

Γυνὴ καὶ θεράπαινα.

Γυνή τις φίλεργος θεραπαίνας ἔχουσα ἤγειρε ἐπὶ τὰ ἔργα τῶν ἀλεκτριόνων ᾀδόντων. Αἱ δέ, ἅτε τῷ πόνῳ πιεζόμεναι, ἔγνωσαν ἀποκτεῖναι τὸν τῆς οἰκίας ἀλεκτριόνα ὡς πρωὶ ἐξανιστάντα τὴν δ έσποιναν. Τοῦτο δὲ διαπραξάμεναι ἐνέπεσον εἰς ἀπορίαν ἔτι χαλεπωτέραν. Ἡ γὰρ δέσποινα, ἅτε ἀγνοοῦσα τὴν τῶν ἀλεκτριόνων ὥραν, αὐτὰς νυκτὸς ἤδη ἀνίστη.

95 ἔχω, βούλομαι, βουλήσομαι · δοκεῖ, δόξει...

1.Ὀλίγοις τισὶ καὶ δοκεῖ και δόξει βέλτιον εἶναι ἀδικεῖσθαι ἢ ἀδικεῖν· οἷς οὖ ν οὕτω δέδοκται καὶ οἷς μὴ (οὕτω δέδοκται), τούτοις οὐκ ἔστι κοινὴ βουλή, ἀλλ ᾽ ἀνάγκη ἐστὶ τούτους ἀλλήλοις ἄχθεσθαι.

2. Μὴ ἀχθεσθῇς τοῖς γεγενημένοις· νῦν γὰρ δεῖ ἐπιμελεῖσθαι τῶν μελλόντων. - Ἦ οὐ σοὶ μέλει τῶν μελλόντων,·

3. Εἰ ἀνάγκη ἐστὶ μάχεσθαι, τοῦτό μοι δοκεῖ σκεπτέον εἶναι, ὅπως ὡς κράτιστ α μαχούμεθα.

4. Εὖ ἴστε, ὦ ἄνδρες, ὅτι ἡ ἡμετέρα πόλις εὐδαίμων γέγονεν οὐ ῥαθυμησασα, ἀλλὰ ἐθελήσασα μάχεσθαι, ὁπότε δέοι. Τοιγαροῦν καὶ ὑμεῖς μὴ μελλήσητε τοὺ ς πολεμίους ἀπῶσαι.

5. Κατ᾽ ἀρχὰς μὲν ᾠήθην σοι μέλειν τῆς ἀληθείας, νῦν δ᾽ ὁρῶ, ὅτι ἐβουλήθης ἀρέσκειν τοῖς ἄρχουσιν.

6. Ἆρ᾽ ἐθελήσετέ μοι χαρίσασθαι, ἐάν τι ὑμῶν δεηθῶ,· Οὐ δεήσει δεηθῆναι, ἀ λλ᾽ ὅπως σοι χαριούμεθα, ἡμῖν ἀεὶ μελήσει.

7. Κατάσχες τὴν γλῶτταν. - Εὖ ἂν ἔχοι, εἰ κατάσχοις τὴν γλῶτταν. -Ἀνέχου (sustioneo) καὶ ἀπέχου (atturos). - Ἐάν μὴ ἀνάσχησθε, οὐ σωθήσεσθε. -Ὑπισχν οῦμαι λέξειν πᾶσαν ἀλήθειαν. - Ἐπιλελῆσθαί μοι δοκεῖς, ὧν ὑπέσχησο.

8. Εἰ μὴ καθέξεις γλῶτταν, ἔσται σοι κακά.

Περὶ Πέλοπος.

Οἰνομάῳ, τῷ Πίσης βασιλεῖ, θυγάτηρ ἐγένετο Ἱπποδάμεια.Ἐρομένῳ δέ ποτε αὐτῷ τὸν θεόν, πό τε ἀποθανεῖται, ἔχρησεν ὁ θεὸς τότε ἀποθανεῖσθαι αὐτόν, ὅταν ἡ θυγάτηρ γήμηται. Ἔδωξεν οὖν τῷ βασιλεῖ κωλύειν τὸν τῆς θυγατρὸς γάμον τῷδε τῷ τρόπῳ. Ἔχων γὰρ ὅπλα τε καὶ ἵππους παρ ᾽ Ἄρεος ἆθλον προετίθει τοῖς βουλομένοις γῆμαι τοιοῦτον. Ὑποστήσατο ἱπποδρομίαν ἀπὸ τῆς Πισής μέχρι τοῦ Ποσειδῶνος βωμοῦ τοῦ ἐν τῷἸσθμῷ· ἔδει δὲ τὸν μὲν ἡττηθέντα ἀποθανεῖν, τῷ δὲ περιγενομένῳ ὑπέσχετο παρέξειν τὴν θυγατέρα.

c. Lìdzìgas un vienâdas formas.

Infinitìvs.

10. Ironisks kapa uzraksts:

Akuzatìvs.

Datìvs.

Åenitìvs.

Persieøi Delfos.